ΙΠΠΟΚΡΑΤΟΥΣ
ΟΡΚΟΣ.

HIPPOCRATIS
IVSIVRANDVM.

Ο[1]ΜΝΥΜΙ [2] Ἀπόλλωνα ἰητρὸν καὶ Ἀσκληπιὸν καὶ Ὑγείαν καὶ Πανάκειαν, καὶ θεοὺς πάντας καὶ πάσας, ἵστορας ποιεύμενος, ἐπιτελέα ποιήσειν κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν, ὅρκον τόνδε καὶ ξυγγραφὴν τήνδε. [3] ἡγήσασθαι μὲν τὸν διδάξαντά με τὴν τέχνην ταύτην, [4] ἴσα γενέτησιν ἐμοῖσιν, καὶ βίου κοινώσασθαι· καὶ χρεῶν χρηΐζοντι μετάδοσιν ποιήσασθαι. καὶ γένος τὸ ἐξ ἑωυτέου, ἀδελφοῖς ἴσον ἐπικρινέειν ἄῤῥεσι. καὶ διδάξειν τὴν τέχνην ταύτην, ἢν χρηΐζωσι μανθάνειν, [5] ἄνευ μισθοῦ καὶ ξυγγραφῆς. [6] παραγγελίης τε καὶ ἀκροήσιος, καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος, μετάδοσιν ποιήσασθαι υἱοῖσί τε ἐμοῖσι, καὶ τοῖσι τοῦ ἐμὲ διδάξαντος. καὶ μαθηταῖσι συγγεγραμμένοισί τε, καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ. ἄλλῳ δὲ οὐδενί. διαιτήμασί τε χρήσομαι, ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμήν. [7] ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξειν. [8] οὐ δώσω δὲ οὐδὲ φάρμακον οὐδενὶ αἰτηθεὶς, θανάσιμον. οὐδὲ ὑφηγήσομαι ξυμβουλίην τοιήνδε. ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν φθόριον δώσω. ἁγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμόν· καὶ τέχνην τὴν ἐμήν. οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας. [9] ἐκχωρήσω δὲ ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε. εἰς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόντων, ἐκτὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης καὶ φθορίης τῆς τε ἄλλης [10] καὶ ἀφροδισίων ἔργων, ἐπί τε γυναικείων σωμάτων [11] καὶ ἀνδρώων, ἐλευθέρων τε καὶ δούλων. ἃ δ' ἂν ἐν θεραπείῃ ἢ ἴδω, ἢ ἀκούσω, ἢ καὶ ἄνευ θεραπείης κατὰ βίον ἀνθρώπων, ἃ μὴ χρή ποτε ἐκλαλέεσθαι ἔξω, σιγήσομαι, ἄῤῥητα ἡγεύμενος εἶναι τὰ τοιαῦτα. Ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι, [12] καὶ μὴ ξυγχέοντι, εἴη ἐπαύρεσθαι, καὶ βίου καὶ τέχνης, δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποις, εἰς τὸν αἰεὶ χρόνον· παραβαίνοντι δὲ καὶ ἐπιορκοῦντι, τἀναντία τουτέων.

PER Apollinem Medicum, & Æſculapium, Hygiamque & Panaceam iureiurando affirmo, & Deos Deasq; omnes teſtor, me quantum viribus & iudicio valuero, quod nunc iuro, & ex ſcripto ſpondeo planè obſeruaturū. Præceptorem quidem qui me hanc artem edocuit, parentum loco habiturum, eique cùm ad victum, tum etiam ad vſum neceſſaria, grato animo communicaturum & ſuppeditaturum. Eiusque poſteros apud me eodem loco quo germanos fratres fore, eosque ſi hanc artem addiſcere volent, abſque mercede & ſyngrapha edocturum. Præceptionum quoque & auditionum, totiusque reliquæ diſciplinæ, cùm meos & eius qui me edocuit liberos, tum diſcipulos qui Medico iureiurando nomen fidemque dederint, participes facturum, aliorum prætereà neminem. Victus quoque rationem, quantum facultate & iudicio conſequi potero, ægris vtilem me præſcripturum, eosq; ab omni noxia & iniuria vindicaturum. Neq; cuiuſquam precibus adductus, alicui medicamentum lethale propinabo, neque huius rei author ero. Neque ſimili ratione mulieri peſſum ſubdititium ad fœtum corrumpendum exhibebo: ſed caſtam & ab omni ſcelere puram, tum vitam, tum ætatem meam perpetuò præſtabo. Neque verò calculo laborantes ſecabo, ſed magiſtris eius artis peritis id muneris concedam. In quancunque autem domum ingreſſus fuero, ad ægrotantium ſalutem ingrediar, omnem iniuriæ inferendæ & corruptelæ ſuſpicionem procul fugiens, tum vel maximè rerum venerearum cupiditatem, erga mulieres iuxta ac viros, tum ingenuos, tum ſeruos. Quæ verò inter curandum, aut etiam Medicinam minimè faciens, in communi hominum vita, vel videro, vel audiero, quæ minimè in vulgus efferri oporteat, ea arcana eſſe ratus, ſilebo. Hoc igitur iuſiurandum ſi religioſè obſeruaro, ac minimè irritum fecero, mihi liceat cum ſumma apud omnes exiſtimatione perpetuò vitam fœlicem degere, & artis vberrimum fructum percipere. Quòd ſi illud violauero & peierauero, contraria mihi contingant.